ΤΗ 21-08-

† Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Θαδδαίου καὶ τῆς

† Ἁγίας Μάρτυρος Βάσσης.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος πλ. α΄

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

ΑΠΟΛΥΤΙΚΙΑ

Ἀπολυτίκιον τοῦ Ἀποστόλου.

Ἦχος πλ. α.΄

Τὸν συνάναρχον Λόγον.

Τὸν αὐτόπτην τοῦ Λόγου Ἰούδαν σήμερον, τὸν καὶ Θαδδαῖον κληθέντα, δεῦτε συμφώνως πιστοί, ὡς προστάτην ἀκλινῆ, ὕμνοις τιμήσωμεν: ὅτι ὀνόματι Χριστοῦ, τῶν σωμάτων τὰς πληγάς, ἐπήρειάν τε δαιμόνων, ἀπελαύνει λύσιν παρέχων, ἀμπλακημάτων ἐν τῇ μνήμῃ αὐτοῦ.

Δόξα... Τὸ αὐτὸ

Καὶ νῦν...

Ἀπολυτίκιον τῆς Ἑορτῆς

Ἦχος α΄

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Μικρή Συναπτή

Ἔτι καὶ ἔτι...

Κύριε, ἐλέησον

Ἀντιλαβοῦ, σῶσον...

Κύριε, ἐλέησον

Τῆς Παναγίας, ἀχράντου...

Σοί, Κύριε.

Ὅτι Σὸν τὸ κράτος...

Ἀμήν.

Μετὰ τὴν α΄ Στιχολογίαν,

Κάθισμα Τοῦ Ἀποστόλου.

Ἦχος α.΄ Τὸν τάφον σου Σωτὴρ.

Ἰούδαν ἀδελφοί, Ἰακώβου συμφώνως, ᾠδαῖς πνευματικαῖς, εὐφημήσωμεν δεῦτε· ὡς πόμα γὰρ ἡδύτατον, θλιβομένοις χαρίζεται, εἰς παράκλησιν καὶ ψυχικὴν εὐφροσύνην, πᾶσι σήμερον, ἐξ οὐρανίου κρατῆρος, τὸ νέκταρ τῆς χάριτος.

Μετὰ τὴν α΄ Στιχολογίαν,

Κάθισμα τῆς Ἑορτῆς

Ἦχος δ΄. Ταχὺ προκατάλαβε

Δόξα... Καὶ νῦν... τῆς ἑορτῆς.

Τὴν σὴν ἑορτάζομεν, Κοίμησιν Ἄχραντε, ἐν ᾗ παραγέγονεν ὁ διὰ σοῦ σαρκωθείς, Χριστὸς ὁ Θεὸς ἡμῶν, μετὰ δόξης ἀφάτου, προσλαβεῖν τὸ σὸν πνεῦμα, καὶ

μετέστης ἐν δόξῃ, μὴ λιποῦσα τὸν κόσμον, πρεσβείαις σου Θεοτόκε, σκέπουσα τοὺς ὑμνοῦντάς σε.

*Μετὰ τὴν β´ στιχολογίαν ψάλλομεν καθίσματα.*

*Τοῦ Ἀποστόλου.*

*Ἦχος πλ. δ´. Τὸ προσταχθέν.*

Τὴν εὐσεβῆ τοῦ Χριστοῦ, Θαδδαῖε ποίμνην, ὥσπερ ποιμὴν πνευματικός, ἀπὸ παντοίας, τῶν αἱρέσεων βλάβης, φύλαττε εὐχαῖς σου· ὡς λύκοι γὰρ ἐπιβάντες οἱ ἀσεβεῖς, ὀδοῦσι κατασπαράξαι τὰ λογικά, κατεπείγονται πρόβατα· οὓς πόῤῥω τῇ νοητῇ, ἀπέλασον σφενδόνῃ σου, ἐκ καρδίας δεόμεθα.

Δόξα... Καὶ νῦν... *τῆς ἑορτῆς.*

*Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον*

Τῶν Ἀγγέλων τὰ πλήθη δοξολογοῦσί σε, τῶν ἀνθρώπων τὸ γένος πιστῶς ὑμνοῦμέν σε, ὅτι μετέστης ἀπὸ γῆς πρὸς οὐράνια, καὶ πρεσβεύεις ἐκτενῶς, τῷ Υἱῷ σου καὶ Θεῷ, ῥυσθῆναι ἐκ τῶν κινδύνων, τοὺς πίστει ἀνευφημοῦντας, τὴν σὴν Παρθένε Μετάστασιν.

Δόξα... Καὶ νῦν... *Τὸ αὐτὸ*

*Μετὰ τὸν πολυέλεον καὶ τὴν ἐκλογὴν ψάλλομεν καθίσματα.*

*Τοῦ Ἀποστόλου.*

*Ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῇ κιβωτῷ ὁ εὐσεβὴς πάλαι Νῶε, σὺν τοῖς οἰκείοις ἐπιβὰς σωτηρίαν, ἐκ τῶν ὑδάτων εὕρατο, Θεοῦ ἐντολῇ· οὕτω καὶ ἡμᾶς διάσωσον, ὦ Θαδδαῖε δεόμεθα, ὅρμον πρὸς ἀκύμαντον, σφοδρᾶς ἐκ τρικυμίας, ἑλληνικῆς ὁλκάδος σαῖς εὐχαῖς, τὸν πλοῦν ἰθύνων, Κυρίου Ἀπόστολε.

Δόξα... Καὶ νῦν... *τῆς ἑορτῆς.*

*Ἦχος δ´. Κατεπλάγη Ἰωσήφ.*

Πλατυτέρα οὐρανῶν, ἀναδειχθεῖσα ἐπὶ γῆς, ἡ τεκοῦσα ἐν σαρκί, τὸν τοῦ παντὸς Δημιουργόν, νῦν εἰς αὐτὰ τὰ οὐράνια ἐκ γῆς μετέστης· Δικαίων δὲ ψυχαὶ καθορῶσαί σε, Ἀγγέλων οἱ χοροὶ κατοπτεύοντες, ὡς Βασιλίδι αἴνεσιν ἀξίως, διὰ παν-τός σοι προσάγουσι· διὸ πρεσβεύειν, μὴ δι-αλίπῃς, ὑπὲρ τῶν ἀνυμνούντων σε.

*Εἶτα ψάλλονται οἱ ἀναβαθμοὶ*

*Τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου.*

*Ἀντίφωνον Α´*

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. *(δίς)*

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. *(δίς)*

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

*καὶ τὸ προκείμενον τοῦ ἑωθινοῦ εὐαγγελίου·*

*Ἦχος πλ. δ´.*

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

*Στίχ.* Οἱ οὐρανοὶ διηγοῦνται δόξαν...

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

*Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου*
*Ἦχος β΄.*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

*Εὐαγγέλιον*
*Ἐκ τοῦ κατὰ*

Δόξα σοι, Κύριε, δόξα σοι.

*Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.*

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλὴμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... *Ἦχος β΄*

Ταῖς τοῦ Ἀποστόλου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος β΄

Ἡ ἐνυπόστατος Θεοῦ Σοφία καὶ Δύναμις θαυμαστῶς ἡμᾶς συνήγαγε σήμερον, τοῦ θερμοῦ ἡμῶν προστάτου καὶ συμπαθοῦς ἀντιλήπτορος κατὰ χρέος δοξάσαι τὴν μεγίστην πανήγυριν· ἐν πάσῃ γὰρ περιστάσει τῇ πανσθενεῖ αὐτοῦ ἀρωγῇ καταφεύγοντες, τῶν δεινῶν συμφορῶν τοῦ βίου λυτρούμεθα· διὸ προθύμως αὐτῷ ἀνακράξωμεν· Μὴ διαλίπῃς σκέπων, Θαδδαῖε Ἀπόστολε, τὴν μικρὰν ποίμνην σου, πρὸς ὅρμον τε ἀσφαλῆ ὁδηγῶν, νεὼς ἐν τύπῳ, τὸ φιλόχριστον τῶν Ἑλλήνων γένος πρεσβείαις σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ΄)

Ἐλέει καὶ οἰκτιρμοῖς...

Ὁ Κανὼν δεύτερος τῆς Ἑορτῆς.

Ὠδὴ α΄

Ἦχος δ΄. Ὁ Εἱρμὸς

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τήν Κοίμησιν. (Δὶς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παρθένοι νεάνιδες, σὺν Μαριὰμ τῇ Προφήτιδι, ᾠδὴν τὴν ἐξόδιον νῦν ἀλαλάξατε· ἡ Παρθένος γάρ, καὶ μόνη Θεοτόκος, πρὸς λῆξιν οὐράνιον διαβιβάζεται.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀξίως ὡς ἔμψυχον, σὲ οὐρανὸν ὑπεδέξαντο, οὐράνια Πάναγνε, θεῖα σκηνώματα, καὶ παρέστηκας, φαιδρῶς ὡραϊσμένη, ὡς νύμφη πανάμωμος, τῷ Βασιλεῖ καὶ Θεῷ.

Ὁ Κανὼν τοῦ Ἀποστόλου, Ὠδὴ α΄

Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θρόνῳ τῷ τοῦ Δεσπότου, πάνσοφε Θαδδαῖε παριστάμενος, φωτισμόν μοι παράσχου, τὴν φωσφόρον σου μέλψαι πανήγυριν.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἄχρονον φῶς ἐν χρόνῳ, μεθ΄ ἡμῶν ὀφθεὶς ὁ Ὑπερούσιος, ὡς ἀκτῖνά σε μάκαρ, ἐπαφῆκε τὸν κόσμον φωτίζουσαν.

Δόξα...

Δύναμιν περιζώσας, σὲ ὁ ἐν ἰσχὺϊ ἀπροσμάχητος, τοῦ ἀλάστορος πᾶσαν, τὴν ἰσχὺν ἀφανίσαι ἐνίσχυσεν.

Καὶ νῦν. Θεοτοκίον

Δέσποινα τῶν ἁπάντων, ὤφθης τῶν κτισμάτων, τὸν δεσπόζοντα, ἀπορρήτως τεκοῦσα, Θεοτόκε Παρθένε πανύμνητε.

Κανὼν β΄, Ὠδὴ γ΄, τῆς Ἑορτῆς

Ἦχος δ΄. Ὁ Εἱρμὸς

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον. (Δὶς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θνητῆς ἐξ ὀσφύος προαχθεῖσα, τῇ φύσει κατάλληλον Ἁγνή, τὴν ἔξοδον διήνυσας, τεκοῦσα δὲ τὴν ὄντως ζωήν, πρὸς τὴν ζωὴν μεθέστηκας, τὴν θείαν καὶ ἐνυπόστατον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Δῆμος θεολόγων ἐκ περάτων, ἐξ ὕψους Ἀγγέλων δὲ πληθύς, πρὸς τὴν Σιὼν ἠπείγοντο, παντοδυνάμῳ νεύματι, ἀξιοχρέως Δέσποινα, τῇ σῇ ταφῇ λειτουργήσοντες.

Κανὼν β΄, Ὠδὴ γ΄, τοῦ Ἀποστόλου

Ἦχος πλ. δ΄

Σὺ εἶ τὸ στερέωμα

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Αἴγλη θείας χάριτος, φωταγωγῶν λαοὺς ἔνδοξε, φῶς καθαρόν, ὤφθης τοῖς ἐν σκότει, τῶν δεινῶν ἐνυπάρχουσιν.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴασιν καὶ λύτρωσιν, θεουργικαῖς σοφὲ νεύσεσι, τῷ βασιλεῖ, ἤγαγες Αὐγάρῳ, πρὸς αὐτὸν ἀφικόμενος.

Δόξα.

Οἴκους ἀπετέλεσας, τοῦ παντουργοῦ σοφὲ Πνεύματος, τοὺς γηγενεῖς, τὰ τῆς ἀπωλείας, καταστρέψας οἰκήματα.

Καὶ νῦν. Θεοτοκίον

Νόμου προχαράγματα, καὶ Προφητῶν φωναὶ Δέσποινα, σοῦ τὸν φρικτὸν τόκον ἀριδήλως, Θεομῆτορ ἐδήλωσαν.

Μικρή Συναπτή

Ἔτι καὶ ἔτι...

Κύριε, ἐλέησον

Ἀντιλαβοῦ, σῶσον...

Κύριε, ἐλέησον

Τῆς Παναγίας, ἀχράντου...

Σοί, Κύριε.

Ὅτι Συ εἶ ὁ Θεός ἡμῶν..

Ἀμήν.

Ἀναγινώσκεται το

Κοντάκιον τῆς Ἑορτῆς

Ἦχος πλ. β΄ Αὐτόμελον

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

Κάθισμα τοῦ Ἀποστόλου

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον

Προσπελάσας Ἡλίῳ τῷ νοητῷ, παρ᾽ αὐτοῦ τὰς ἀκτῖνας τὰς μυστικάς, ἐδέξω καὶ γέγονας, ὡς ἀστὴρ φαεινότατος, καταυγάζων πάσης, τῆς γῆς τὰ πληρώματα, καὶ σκεδάζων πλάνης, ὁμίχλην μακάριε· ὅθεν τὴν φωσφόρον καὶ ἁγίαν σου μνήμην, πιστῶς ἑορτάζομεν, καὶ συμφώνως βοῶμέν σοι· Θαδδαῖε, Ἀπόστολε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς

ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα... Καὶ νῦν...

Τῆς Ἑορτῆς ὅμοιον

Ἡ θεὸν συλλαβοῦσα ἄνευ σπορᾶς, σαρκωθέντα τεκοῦσα δίχα φθορᾶς, τὴν νέαν ἀμφιέννυσαι, ἀφθαρσίαν τοῦ Πνεύματος· ὡς γὰρ ζωῆς σὺ Μήτηρ, καὶ πάντων Βασίλισσα, πρὸς τὴν ζωὴν μετέστης, Παρθένε τὴν ἄϋλον· ὅθεν ἐπαξίως, ἀληθῶς ἀνεδείχθης, νεφέλη πηγάζουσα, τῆς ζωῆς ἡμῶν νάματα, Θεομῆτορ πανάμωμε. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὴν θείαν σου Κοίμησιν.

Μικρὴ Συναπτή

Ἔτι καὶ ἔτι...

Κύριε, ἐλέησον

Ἀντιλαβοῦ, σῶσον...

Κύριε, ἐλέησον

Τῆς Παναγίας, ἀχράντου...

Σοί, Κύριε.

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

Ἀμήν.

Κοντάκιον τοῦ Ἀποστόλου

Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον

Ἑορτὴ χαρμόσυνος, τοῦ Ἀποστόλου ἐπέστη, εὐφροσύνως σήμερον, ἐπιτελέσωμεν ταύτην· νέμει γάρ, τοῖς αὐτὸν πίστει ἀεὶ τιμῶσι, λύτρωσιν ἁμαρτημάτων, καὶ ῥῶσιν θείαν· καὶ γὰρ ἔχει παρρησίαν, ὡς θεῖος μύστης Χριστοῦ τῆς χάριτος.

Ὁ Οἶκος

Τὸν Χριστοῦ Μαθητὴν ἅπαντες εὐφημήσωμεν, τὸν αὐτόπτην τοῦ Λόγου τιμήσωμεν σήμερον. Οὗτος γὰρ τῷ κόσμῳ ἐκήρυξε τὸ πάνσεπτον Εὐαγγέλιον, καὶ τὰ ἔθνη σαγηνεύσας ἐκ τοῦ βυθοῦ τῆς πλάνης ἀνήγαγε, τὴν δὲ ὁδὸν τῆς ἀληθείας ὑποδείξας, δι᾽ αὐτῆς ἀνάγει τοὺς πιστοὺς πρὸς πατρίδα οὐράνιον, καὶ τῷ θείῳ θρόνῳ λαμπρῶς παριστάμενος, φωτισμὸν παρέχει δαψιλῶς τοῖς αὐτὸν ἐκ πόθου γεραίρουσι. Καὶ γὰρ ἔχει παρρησίαν, ὡς θεῖος μύστης Χριστοῦ τῆς χάριτος.

ΣΥΝΑΞΑΡΙΟΝ

Τῇ ΚΑ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Ἀποστόλου Θαδδαίου.

Στίχοι

Θαδδαῖε! ποῖον ἄλλο σοι πλέξω στέφος,

Ἢ αὐτόπτην λέγειν σε, καὶ μύστην Λόγου;

Εἰκάδι πρώτῃ Θαδδαῖος βιότοιο ἀπέπτη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας μάρτυρος Βάσσης, καὶ τῶν τέκνων αὐτῆς Θεογνίου, Ἀγαπίου καὶ Πιστοῦ.

Στίχοι

Μητρὸς μιᾶς κάλλιστα παιδία τρία,

Σὺν μητρὶ Βάσσῃ πρὸς τομὴν ψυχὴ μία.

Βάσσαν σὺν τοκέεσσι τάμε ξίφος εἰκάδι πρώτῃ.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Τῆς Κοιμήσεως τῆς Θεοτόκου

Ὠδὴ α΄. Ἦχος α΄.

Πεποικιλμένη τῇ θείᾳ δόξῃ ἡ ἱερὰ καὶ εὐκλεής, Παρθένε, μνήμη σου πάντας συνηγάγετο πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριὰμ μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ ᾄδοντας μονογενεῖ· Ἐνδόξως ὅτι δεδόξασται.

Ὠδὴ γ΄.

Ἡ δημιουργικὴ καὶ συνεκτικὴ τῶν ἁπάντων Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ, ἀκράδαντον τὴν Ἐκκλησίαν στήριξον, Χριστέ· μόνος γὰρ εἶ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

Ὠδὴ δ΄.

Ῥήσεις προφητῶν καὶ αἰνίγματα τὴν σάρκωσιν ὑπέφηναν τὴν ἐκ Παρθένου σου, Χριστέ, φέγγος ἀστραπῆς σου εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ σοι ἄβυσσος ἐν ἀγαλλιάσει· Τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Ὠδὴ ε΄.

Τὸ θεῖον καὶ ἄρρητον κάλλος τῶν ἀρετῶν σου, Χριστέ, διηγήσομαι· ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον καὶ ἐνυπόστατον λάμψας ἀπαύγασμα, παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει καὶ σκιᾷ σωματωθεὶς ἀνέτειλας ἥλιος.

Ὠδὴ στ΄.

Ἅλιον, ποντογενές, κητῷον ἐντόσθιον πῦρ τῆς τριημέρου ταφῆς σου τὶ προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται· σεσωσμένος γάρ, ὡς καὶ προϋπέπωτο, ἀσινὴς ἐβόα· Θύσω σοι μετὰ φωνῆς αἰνέσεως, Κύριε.

Ὠδὴ ζ΄.

Ἰταμῷ θυμῷ τε καὶ πυρὶ θεῖος ἔρως ἀντιταττόμενος τὸ μὲν πῦρ ἐδρόσιζε, τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ τῇ τῶν ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός· Ὁ δεδοξασμένος τῶν πατέρων καὶ ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν
τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Φλόγα δροσίζουσαν ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν ἄγγελος Θεοῦ ὁ πανσθενὴς ἔδειξε παισί· ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι· Τὸν δημιουργὸν μόνον ὑμνοῦμεν οἱ λελυτρωμένοι καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ

(Ἦχος α΄)

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία. Ὠδὴ θ΄.
Ἦχος α΄ Ὁ εἱρμὸς

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὴν μόνην Θεοτόκον.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι ἐν σοί, Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον παρθένος καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε, τὴν κληρονομίαν σου.

Μικρὴ Συναπτὴ

Ἔτι καὶ ἔτι...

Κύριε, ἐλέησον

Ἀντιλαβοῦ, σῶσον...

Κύριε, ἐλέησον

Τῆς Παναγίας, ἀχράντου...

Σοί, Κύριε.

Ὅτι Σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις....

Ἀμήν.

Ἐξαποστειλάριον τοῦ Ἀποστόλου
Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε

Ἐδέσσης ἐχρημάτισας, φωστὴρ Θαδδαῖε πάνσοφε, ἐν ᾗ κηρύξας τὴν θείαν, οἰκονομίαν τοῦ Λόγου, καὶ τὸν Τοπάρχην Αὔγαρον, καὶ σὺν αὐτῷ δὲ ἅπαντας, φωτίσας λάτρας ἔδειξας, τῆς ὑπερφώτου Τριάδος, Ἀπόστολε Θεοκήρυξ.

Ἐξαποστειλάριον τῆς Ἑορτῆς
Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις

Τῶν Ἀποστόλων ὁ δῆμος, συναθροισθεὶς ἐν νεφέλαις, ἀξιοχρέως κηδεύει, τὴν τοῦ Κυρίου Μητέρα, παρόντος καὶ τοῦ Σωτῆρος, σὺν μυριάσιν Ἀγγέλων.

ΑΙΝΟΙ. Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Εἶτα ἱστῶμεν στίχους δ΄
καὶ ψάλλομεν
στιχηρὰ προσόμοια τοῦ Ἀποστόλου.
Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Θαδδαῖε Ἀπόστολε Χριστῷ, παῤῥησίᾳ ἔφησας, ἐν ὑπερῴῳ καθήμενος, ποτέ· Τί γέγονεν, ἡμῖν ὅτι

μέλλεις, ἐμφανίζειν, Κύριε, οὐχὶ δὲ Σεαυτὸν κόσμῳ λέξον μοι; ἡμῖν πιστούμενος, τὴν μεγίστην οἰκειότητα, καὶ ἀγάπην, πρὸς Αὐτὸν ἣν κέκτησαι.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἐπέστη ἡμῖν ἡ φωταυγής, τοῦ Θαδδαίου σήμερον, ὡς εὐφροσύνης ἀνάπλεως, καὶ πλήρης χάριτος, ἀδελφοὶ ἡμέρα· δεῦτε οὖν ὑμνήσωμεν, τὸν ἔνδοξον Κυρίου Ἀπόστολον, αὐτῷ κραυγάζοντες· Ὀρθοδόξων τὴν ἀμώμητον, ῥῦσαι πίστιν, πληγῆς τῶν αἱρέσεων.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Σαγήνῃ τοῦ Πνεύματος ψυχάς, ἀβιάστως εἵλκυσας, τῆς παραλόγου λυτρούμενος, Θαδδαῖε κράτιστε, τῶν εἰδώλων πλάνης, καὶ πρὸς τὴν ἐπίγνωσιν, Χριστοῦ τοῦ σαρκωθέντος Θεοῦ ἡμῶν, πανσόφως ἴθυνας, ἁλιεὺς ὡς προανήγγειλεν, ὁ Δεσπότης, ἀνθρώπων γενόμενος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἡ θεία πληθὺς τῶν προφητῶν, τῶν μαρτύρων σύλλογος, δῆμος ὁσίων πατέρων τε, ἀγγέλων τάγματα, διδασκάλων τάξις, καὶ δικαίων ὅμιλος, ὁμοῦ σὺν Ἀποστόλοις γεραίρουσιν, ἐνθέοις ᾄσμασι, τὴν Θαδδαίου μνήμην σήμερον, τὴν ἁγίαν, καὶ πάντῃ χαρμόσυνον.

Δόξα Πατρί...

Τοῦ Ἀποστόλου. Ἦχος πλ. δ΄.

Αὐγὴν τῆς θεότητος αὐτοῦ ἀμυδρὰν ἐπιδεῖξαι βουλόμενος, ἐξουσίαν ὁ τῆς Δόξης Κύριος τοῦ πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ τοῖς ἰδίοις μαθηταῖς ἐδωρήσατο· ᾗ χρησάμενοι, χαρᾶς τε πλησθέντες ἠπόρουν ὁρῶντες τὰς ἐναντίας δυνάμεις τῷ ὀνόματι Χριστοῦ ὑποτάσσεσθαι. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὁ Σωτὴρ ἀπεκρίνατο, ἀλλ᾽ ὅτι τὰ ὀνόματα ὑμῶν ἐν βίβλῳ ζωῆς ἀπεγράφησαν. Ἀλλ᾽, ὦ Θαδδαῖε Ἀπόστολε, ταῖς σαῖς θεοδέκτοις πρεσβείαις ἐν αὐτῇ συναπόγραψον, τοὺς πόθῳ τιμῶντάς σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.
Ἦχος πλ. α΄.

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε καὶ χορείαν στησώμεθα, δεῦτε καταστέψωμεν ᾄσμασι τὴν Ἐκκλησίαν τῇ καταπαύσει τῆς Κιβωτοῦ τῆς Κιβωτοῦ τοῦ Θεοῦ. Σήμερον γὰρ οὐρανὸς ἐφαπλοῖ τοὺς κόλπους, δεχόμενος τὴν τετοκυῖαν τὸν ἐν πᾶσι μὴ χωρούμενον, καὶ ἡ γῆ τὴν πηγὴν τῆς ζωῆς ἀποδιδοῦσα, τὴν εὐλογίαν στολίζεται καὶ εὐπρέπειαν. Ἄγγελοι χοροστατοῦσι σὺν Ἀποστόλοις, περιδεῶς ἐνατενίζοντες, ἐκ ζωῆς εἰς ζωὴν μεθισταμένης, τῆς τεκούσης τὸν ἀρχηγὸν τῆς ζωῆς. Πάντες προσκυνήσωμεν αὐτὴν δεόμενοι· Συγγενοῦς οἰκειότητος μὴ ἐπιλάθῃ Δέσποινα, τῶν πιστῶς ἑορταζόντων, τὴν παναγίαν σου Κοίμησιν.

Δοξολογία Μεγάλη.
Ἦχος πλ. δ΄

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἀπολυτίκιον*

*Τῆς Ἑορτῆς. Ἦχος α΄.*

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε· μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς Σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Ἀντίφωνον Α΄ τῆς ἑορτῆς*

*Ἦχος β΄.*

Στίχ. α΄. Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχος β΄. Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ.,

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς

Στίχος γ΄. Ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει Θεοῦ ἡμῶν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς

Στίχος δ΄. Ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς

Ἀντίφωνον Β΄

Ἦχος β΄.

Στίχος α΄. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχος β΄. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχος γ΄. Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχος δ΄. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ...Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄ Ἦχος α΄.

Στίχος α΄. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου.

Ἦχος α΄

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Στίχος β΄. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Στίχος γ΄.* Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Εἰσοδικὸν*

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

*Ἀπολυτίκιον τῆς Ἑορτῆς*

*Ἦχος α΄*

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπολυτίκιον τοῦ Ἀποστόλου.*

*Ἦχος πλ. α΄.*

*Τὸν συνάναρχον Λόγον.*

Τὸν αὐτόπτην τοῦ Λόγου Ἰούδαν σήμερον, τὸν καὶ Θαδδαῖον κληθέντα, δεῦτε συμφώνως πιστοί, ὡς προστάτην ἀκλινῆ, ὕμνοις τιμήσωμεν: ὅτι ὀνόματι Χριστοῦ, τῶν σωμάτων τὰς πληγάς, ἐπήρειάν τε δαιμόνων, ἀπελαύνει λύσιν παρέχων, ἀμπλακημάτων ἐν τῇ μνήμῃ αὐτοῦ.

*Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ*

*Κοντάκιον τῆς ἑορτῆς. Ἦχος β΄*

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

*Τρισάγιον Ἀποστόλου*

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.(γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ

*Μνήμη τοῦ Ἁγίου Ἀποστόλου.*

*Προκείμενον. Ἦχος πλ. δ΄.*

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

*Στίχ.* Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. 4:9-16

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν, ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι εὐλογοῦμεν,

διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ᾽ ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ᾽ οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

Ἀλληλούϊα. (γ´) Ἦχος α´.

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε.

Στίχ. Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων.

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικόν

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Μετὰ τὴν Θείαν Κοινωνίαν.

ἦχος β´´

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

ἦχος β´

Πληρωθήτω τό στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τήν δόξαν Σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων μυστηρίων Σου. στήριξον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ ὅλην τήν ἡμέραν μελετᾶν τήν δικαιοσύνην Σου. Ἀλληλουΐα, Ἀλληλουΐα, Ἀλληλουΐα.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρίς).

ΙΕΡΕΥΣ: Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Ἀμήν.

Ἡ Μεταφορά Κειμένων
Καλλιτεχνική ἐπιμέλεια
ἔγινε ἀπό τόν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στόν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.